# Bro(n)tínos

Testimonia DK 17

A 1 /1 = Iamblichos, De vita Pythagorica 267; p. 189,5 Nauck
Μεταποντῖνοι Βροντῖνος ...

A 1 /2 = Iamblichos, De vita Pythagorica 267; p. 194,2
Θεανὼ γυνὴ τοῦ Μεταποντίνου Βροτίνου.

A 1 /3 = Iamblichos, De vita Pythagorica 132; p. 96
πρὸς Δεινωνὼ γὰρ τὴν Βροντίνου γυναῖκα, τῶν Πυθαγορείων ἑνός, οὖσαν σοφήν τε καὶ περιττὴν τὴν ψυχήν, ἧς ἐστι καὶ τὸ καλὸν καὶ περιβόητον ῥῆμα τὸ τὴν γυναῖκα δεῖν θύειν αὐθημερὸν ἀνισταμένην ἀπὸ τοῦ ἑαυτῆς ἀνδρός, ὅ τινες εἰς Θεανὼ ἀναφέρουσι, πρὸς δὴ ταύτην παρελθούσας τὰς τῶν Κροτωνιατῶν γυναῖκας παρακαλέσαι περὶ τοῦ συμπεῖσαι τὸν Πυθαγόραν διαλεχθῆναι περὶ τῆς πρὸς αὐτὰς σωφροσύνης τοῖς ἀνδράσιν αὐτῶν ...

A 1 /4 = Diogenés Laertios, Vita philosophorum VIII,42
ἦν δὲ τῶι Πυθαγόραι καὶ γυνή, Θεανὼ ὄνομα, Βροντίνου τοῦ Κροτωνιάτου θυγάτηρ· οἱ δέ, γυναῖκα μὲν εἶναι Βροντίνου, μαθήτριαν δὲ Πυθαγόρου. ἦν αὐτῶι καὶ θυγάτηρ Δαμώ, ὥς φησι Λῦσις ἐν ἐπιστολῆι τῆι πρὸς Ἵππασον.

A 2 = Diogenés Laertios, Vita philosophorum VIII,83
᾿Αλκμαίων Κροτωνιήτης τάδε ἔλεξε Πειρίθου υἱὸς Βροτίνωι καὶ Λέοντι καὶ Βαθύλλωι· περὶ τῶν ἀφανέων ...

A 3 = Diogenés Laertios, Vita philosophorum VIII,55
τὴν γὰρ περιφερομένην ὡς Τηλαύγους ἐπιστολήν, ὅτι τε μετέσχεν ῾Ιππάσου καὶ Βροτίνου, μὴ εἶναι ἀξιόπιστον.

A 4 /1 = Súda, s. v. ᾿Ορφεύς (= Orfeus A 1)
Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ ῾Ηρακλεώτου, οἱ δὲ Βροτίνου ... καὶ Φυσικά, ἃ Βροτίνου φασίν.

A 4 /2 = Kléméns Alexandrijský, Stromata I,131
τὸν δὲ Πέπλον καὶ τὰ Φυσικὰ Βροντίνου.

A 5 = Iamblichos, De communi mathematica scientia 8,61-73; p. 34 Festa (cfr. Sofonias, In Aristotelis libros de anima paraphrasis, ed. M. Hayduck)

ὥσπερ τοίνυν τὰ διανοητὰ τῶν νοητῶν κεχώρισται, οὕτω καὶ ἡ διάνοια τῆς νοήσεως. διόπερ καὶ Βροτῖνος ἐν τῶι Περὶ νοῦ καὶ διανοίας χωρίζων αὐτὰ ἀπ᾽ ἀλλήλων τάδε λέγει· ἁ δὲ διάνοια τῶ νῶ μεῖζόν ἐστι, καὶ τὸ διανοατὸν τῶ νοατῶ· ὁ μὲν γὰρ νόος ἐστὶ τό τε ἁπλόον καὶ τὸ ἀσύνθετον καὶ τὸ πρᾶτον νοέον καὶ τὸ νοεόμενον (τοιοῦτον δ᾽ ἐστὶ τὸ εἶδος· καὶ γὰρ ἀμερὲς καὶ ἀσύνθετον καὶ πρᾶτόν ἐστι τῶν ἄλλων), ἁ δὲ διάνοια τό τε πολλαπλόον καὶ μεριστὸν καὶ τὸ δεύτερον νοέον (ἐπιστάμαν γὰρ καὶ λόγον [τὸν] προσείληφε)· παραπλησίως δὲ καὶ τὰ διανοητά· ταῦτα δ᾽ ἐντὶ τὰ ἐπιστατὰ καὶ τὰ ἀποδεικτὰ καὶ τὰ καθόλω τὰ ὑπὸ τῶ νόω διὰ τῶ λόγω καταλαμβανόμενα.